στος, εἰδικῶς δὲ ὁ κῶδιξ τῆς «Βιβλιοθήκης» τοῦ Φωτίου ἀποτελεῖ καὶ ποιοτικῶς ἐπιτυχίαν[12]. Ἐχρειάζετο πίστις εἰς τὸν ἀνθρωπισμὸν διὰ νὰ γίνουν ὅλαι αἱ ἐργασίαι αὐταί· τοῦτο δὲ τελικῶς, ἀνεξαρτήτως τῶν ἐλλείψεών του, εἶναι ποὺ πρέπει νὰ βαρύνῃ εἰς τὴν κρίσιν μας. Ἡ ἱσπανικὴ Ἀναγέννησις τοῦ 16. αἰῶνος κατὰ ἕνα τμῆμά της, καὶ δὴ σημαντικόν, ὀφείλεται εἰς τοὺς ὑπὲρ αὐτῆς ἐργασθέντας Κρῆτας, ἀπὸ τοῦ Θεοτοκοπούλου, τοῦ Τουρριανοῦ καὶ τοῦ Καλοσυνᾶ, μέχρι τοῦ ἀγνώστου ἄλλως ἐκείνου διδασκάλου εἰς Τολέδο, τὸν ὁποῖον ὁ Diego Siego ἐνθυμεῖται ὡς «*vivae vocis praeceptorem meum in schola Complutensi Demertium Ducam natione Graecum, patria Cretensem*»[13].

Ὀλίγαι λέξεις καὶ περὶ τοῦ ὀνόματος Καλοσυνᾶ ἐν Κρήτῃ : ἱερεῖς *Ἐμμανουὴλ καὶ Ἰωάννης Καλοσυνᾶ* εἰς ἔγγραφον τοῦ 1299[14]· «*παπᾶς κὺρ Νίλων ὁ Καλοσυνὰς ἐκ τὸν Ἅγιον Ἀντώνιον τῶ Βροντήσῃ ἐκ τὴν Κρήτην*»[15] εἰς κωδικογραφικὸν σημείωμα τῶν ἐτῶν 1468/73· «*Νικόλαος Καλοσυνᾶς*» εἰς ἐπιστολὴν Πέτρου τοῦ Λαμπάρδου περὶ τὰ τέλη τῆς δεκάτης πέμπτης ἑκατονταετηρίδος[16].

## 9.

## ΜΙΧΑΗΛ ΑΠΟΣΤΟΛΗ, ΕΠΙΚΗΔΕΙΟΙ ΕΙΣ ΚΑΛΟΤΑΡΗΝ ΚΑΙ ΓΑΛΑΤΗΝΟΝ

Ἐκδίδω κατωτέρω, ἐπὶ τῇ βάσει φωτοτυπιῶν εἰλημμένων ἐκ τοῦ εἰς τὴν βιβλιοθήκην τοῦ Βατικανοῦ κώδικος Palatinus Graecus 275, δύο ἐπικηδείους λόγους ἐκφωνηθέντας ὑπὸ τοῦ Μιχαὴλ Ἀποστόλη διὰ τοὺς Γορτυνίους Μανουὴλ τὸν Καλοτάρην καὶ Μανουὴλ τὸν Γαλατηνόν. Ὁ κῶδιξ εἶναι αὐτόγραφος, εἰς δὲ τὴν σελίδα 176v φέρει τὸ σύνηθες βιβλιογραφικὸν σημείωμα τοῦ κωδικογράφου : «*Μιχαὴλ Ἀποστόλης βυζάντιος μετὰ τὴν τῆς αὐτοῦ πατρίδος ἅλωσιν πενίᾳ συζῶν καὶ τόδε τὸ βιβλίον ἐξέγραψεν*»[1]. Ὁ Legrand, ὁ ὁποῖος ἀναφέρει τὰ κείμενα αὐτὰ μεταξὺ τῶν ἄλλων ἀνεκδότων εἰσέτι ἔργων τοῦ

---

[12]) M a r t i n i E., Textgeschichte der Bibliotheke des Patriarchen Photios von Konstantinopel, Leipzig I, 1911, σελ. 25 καὶ 40.

[13]) B a r b i e r i, «Boletin Historico» I, 1880, 54 (G r a u x, ἔνθ' ἀν. 9).

[14]) «Κρητικὰ Χρονικὰ» 3, 1949, 278 καὶ 282.

[15]) B e n e s h e v i c h V., Catalogus codicum manuscriptorum graecorum κτλ., Petropoli 1911, 268, κῶδιξ 482.

[16]) «Κρητικὰ Χρονικὰ» 2, 1948, 544.

[1]) Bibliotheca Apostolica Vaticana, Codices Palatini graeci, Romae 1895, 150 κ.ἑ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
23/04/2024 09:21:49 EEST - 18.227.81.185

Μιχαὴλ Ἀποστόλη, ἐγνώριζεν ἄλλον κώδικα ἀποκείμενον εἰς τὴν βιβλιοθήκην τῆς Εὐαγγελικῆς Σχολῆς Σμύρνης. Ὁ κῶδιξ ὅμως αὐτὸς δὲν ὑπάρχει πλέον [2].

Τὰ κείμενα ἐκδίδονται ἐδῶ ἀφ' ἑνὸς μὲν ὡς δύο ἐπὶ πλέον στοιχεῖα διὰ τὴν μελέτην τῆς περισσότερον ἀπὸ ὅ,τι συνήθως νομίζεται ἀξιολόγου κοινωνικῆς καὶ πνευματικῆς ζωῆς ἐν Γορτύνῃ κατὰ τὸ δεύτερον ἥμισυ τοῦ δεκάτου πέμπτου αἰῶνος, ἀφ' ἑτέρου δὲ ὡς ἔργα ἐκείνου ὅστις κυρίως συνέβαλεν εἰς τὴν δημιουργίαν τῆς κοινωνικῆς καὶ τῆς πνευματικῆς αὐτῆς ζωῆς, τοῦ Μιχαὴλ Ἀποστόλη.

Καθ' ὅσον ἠδυνήθην νὰ διαπιστώσω, ἀμφότεροι οἱ μονῳδούμενοι ἐδῶ εἶναι ἄγνωστοι ἀλλαχόθεν. Ἐνδεχομένως ὅμως συγγενὴς τοῦ Μανουὴλ Καλοτάρη εἶναι ὁ εἰς βιβλιογραφικὸν σημείωμα κώδικος τοῦ Σινᾶ ἀναφερόμενος Κρὴς *«ἅγιος οἰκονόμος τῆς ἁγίας Αἰκατερίνας τῶν Σιναϊτῶν κὺρ Λαυρέντιος ὁ Καλοτάρις»*[3]· τὸ σημείωμα αὐτὸ ἔχει γραφῆ περὶ τὸ 1470, εἰς ἐποχὴν δηλαδὴ κατὰ τὴν ὁποίαν ἔχει γραφῆ καὶ ἡ πρὸς Μανουὴλ Καλοτάριν μονῳδία. Ἐξ ὅσων λέγει ὁ Μιχαὴλ Ἀποστόλης φαίνεται ὅτι ὁ μὲν Καλοτάρης ἦτο πτωχῆς οἰκογενείας ἀργότερον δὲ ἐξελίχθη εἰς σημαίνοντα οἰκονομικὸν παράγοντα ἐν τῇ πόλει τῆς Γορτύνης, ὁ δὲ Μανουὴλ Γαλατηνὸς ἦτο υἱὸς διακεκριμένου πολίτου τῆς Γορτύνης, ἐνδυθέντος κατὰ τὰ τελευταῖα ἔτη τῆς ζωῆς του τὸ μοναχικὸν σχῆμα, ἀπέθανε δὲ εἰς ἡλικίαν 50 ἐτῶν, ἀφοῦ προηγουμένως ἐδοκίμασε τὴν πικρίαν νὰ χάσῃ ὅλα τὰ τέκνα του. Σημειωτέον εἰς τὴν μονῳδίαν αὐτὴν τὸ ὡραῖον ἐγκώμιον τῆς Γορτύνης: *«πόλις πρώτη τῶν ἐν Κρήτῃ μετὰ τὴν πρώτην, ἀνδρῶν οὐκ ὀλίγων πεπληρωμένη σοφῶν καὶ ἐραστῶν τῆς σοφίας . . . . ὅτι δ' εὐνομεῖται, τοῦτ' ἐκ προγόνων ἔχει . . . . γῆς δὲ φορᾶς καὶ ὑδάτων καὶ κράσεως ἀέρων οὕτως εὖ ἔχει, ὡς μηδεμίαν ἐξισοῦσθαι ταύτῃ τῶν ἐν τῇ νήσῳ· ὅσῳ δὲ τούτοις κοσμεῖται, τοσούτῳ καὶ τῶν οἰκητόρων ταῖς ἀρεταῖς»*.

Εἰς τὸν κώδικα τῆς Σμύρνης οἱ δύο ἐπικήδειοι αὐτοὶ ἐφέροντο ὑπὸ τοὺς τίτλους: *«Μονῳδία εἰς τὸν καλὸν κἀγαθὸν ἄνδρα κὺρ Μανουῆλον τὸν Καλοτάρην»* καὶ *«Μονῳδία εἰς τὸν καλὸν κἀγαθὸν ἄνδρα κύριον Μανουῆλον τὸν Γαλατηνόν»*, εἵποντο δὲ ἄλλης μονῳδίας *«πρὸς τὸν ἐνδοξότατον καὶ μεγαλοπρεπῆ ἄνδρα κύριον Ἀνδρέαν τὸν Καλέργην»*[4]. Οὕτω ἐκ τοῦ κώδικος τῆς Σμύρνης πληροφορούμεθα ὅτι τὸ

---

[2]) Legrand Em., BH I, 1885, LXVII.

[3]) Benechevitz V., Catalogus codicum manuscriptorum graecorum I, Petropoli 1911, 268, codex 482.

[4]) Καθ' ὅσον γνωρίζω, τὸ κείμενον τοῦτο παρέμεινεν ἀνέκδοτον. Καὶ τὰ τρία κείμενα εἰς τὸν κώδικα Σμύρνης τιτλοφοροῦνται *«μονῳδία»*· εἰδικῶς τὸ

Institutional Repository - Library & Information Centre - University of Thessaly
23/04/2024 09:21:49 EEST - 18.227.81.185

βαπτιστικὸν τοῦ Γαλατηνοῦ ἦτο, ὡς καὶ τοῦ Καλοτάρη, Μανουήλ.

Τὸ ἐνταῦθα παρεχόμενον κείμενον ἀμφοτέρων τῶν ἐπικηδείων εἶναι πιστὸν ἀντίγραφον τοῦ εἰς τὸν Codex Palatinus αὐτογράφου, πλὴν τῆς στίξεως, τὴν ὁποίαν ἀπεκατέστησα ἐπὶ τὸ ὀρθότερον.

Codex Palatinus graecus 275, f. 191r-193v.

A

*Μονῳδία εἰς τὸν Μανουὴλ τὸν Καλοτάρην*

*Δίκαιόν ἐστι πᾶσιν ἀνθρώποις ὑποκειμένοις φθορᾷ τὴν προσήκουσαν ἀπονέμειν τοῖς τεθνεῶσι τιμήν· οὐχ ὅτι πάντες ἡμεῖς τοῖς αὐτοῖς ὑποκεισόμεθα πάθεσιν, οὐδ' ὅτι φίλοι τυγχάνοντες ἦμεν, δικαίῳ λόγῳ καὶ τῷδε, ἀλλ' ὅτι μᾶλλον ὁ τεθνεὼς ᾗ πάσαις ἂν ἢ πλείοσιν ἀρεταῖς εἴη κεκοσμημένος. Τοῦτον δὴ οὖν ἡμῖν τὸν προκείμενον, ἄνδρες ἐλλόγιμοι τῶν Κρητῶν, ὅτι τε ἀνὴρ ἀγαθὸς ἐτύγχανεν ὢν καὶ πολλοί γε ἐκ τοῦδε παῖδας καὶ γυναῖκας τετράφαται, πᾶσιν ἐμοῦ κάλλιον εἰδόσι, προσημαίνειν οὐ δεῖ, ἀλλὰ |*
*πενθεῖν τε καὶ μονῳδεῖν, πολλῶν ἀντάξιον ἄνδρα ἀποβαλόντας.* 191v
*Φεῦ, οἷον μετὰ δύο πάθος τρίτον ἡμῖν ἐπεισέφρυσεν, ἄμεινον μὲν εἰς φθορὰν τοῦ προτέρου, τοῦ δὲ δευτέρου τοσοῦτον ἔλαττον, ὅσον κρεῖττον τοῦ πρώτου. Ὦ, οἷον ἀγαθὸν ἀπεβάλλομεν ἄνδρα. Μιχαῆλος καὶ πάλιν μοι προτετάχθω, ὁ πάντων ἐμοὶ φίλτατος τῶν Κρητῶν καὶ τοῖς ἀρίστοις τῶν Ἐνετῶν, τὸ φῶς τοῦ παρόντος αἰῶνος καὶ τῆς θαλάσσης ἡγεμόνων ἁπάσης, τῆς τε γῆς, ἣν δόξῃ Θεῷ καὶ αὐτὸς—εἰ μὴ μάτην μαντεύωμαι. Βαβαί! Τί σε πάντων εἰπών, τῶν μὲν φίλε, τῶν δὲ θεράπων, τοῖς δ' ἰσότιμε, τῶν δ' ὑπερέχων πολλῷ, ἄξιόν σοι δόξαιμι φάναι; ὡς φρονήσει συνέζης; καὶ τοῦτο γε δῆλον ἐκ τῶν οἰκείων καμάτων, ὅτι παρὰ πατρὸς ὀλίγον ἢ μηδὲν εἰληφὼς αὐτὸς τῶν Κρητῶν τιμῇ καὶ πλούτῳ τοὺς πλείστους ὑπερενίκησας. Ὦ φίλοι καὶ γνώριμοι τοῦδε καὶ προσγενεῖς; δικαίως θρηνεῖτε. Εἰ γὰρ δυοῖν τούτοιν ὄντιν κτᾶσθαί τε καὶ φυλάττειν τὰ πράγματα, εἴ τῳ θάτερον περιγένοιτο, πᾶσιν ὡς εἰκὸς εἶναι μέγα δοκεῖ, εἴ τῳ ξυνελθοίτην ἑκατέρω τὼ πράγματε, ὥσπερ σοι γ' αὐτῷ τὴν ψυχὴν καὶ σῶμα καὶ πάντα πάντως εὐδαίμονι, πῶς οὐκ ἄν τις εἴποι φρόνιμον καὶ μακάριον; Μακάριος γὰρ ὄντως ὑπάρχεις αὐτός, ψήφῳ, εἰ μὴ πλειόνων, τῇ*

---

τοῦ Ἀνδρέου Καλλέργη φέρεται ὡς «*μονῳδία ἐπικήδειος*». Εἰς τὸν Παλατινὸν κώδικα τὸ μὲν πρῶτον τιτλοφορεῖται «*μονῳδία*», τὸ δὲ δεύτερον «*ἐπικήδειος*». Πάντως αἱ λέξεις εἶναι, προκειμένου περὶ τοῦ λαογραφικοῦ αὐτοῦ εἴδους, ταυτόσημοι. Πρβλ. ὅσα λέγει ὁ Previale L., BZ, 41, 1941, 32.

Institutional Repository - Library & Information Centre - University of Thessaly
23/04/2024 09:21:49 EEST - 18.227.81.185

γοῦν ἐμῇ, εἰ καὶ τῶν πολλῶν οὐκ ἀξίαν λόγου κρινόντων. Ὃ γάρ τις τί ἔστιν οὐκ εἰδώς, εἴτε φαῦλον εἴτε σπουδαῖον, οὔτ᾽ οἶδε θαυμάζειν καὶ λέγειν ἀλόγως. Ἀλλ᾽ ὑμῶν οἱ πλεῖστοι, ὡς οἴομαι, κακεῖνον καὶ τόνδε οἴδατε ἀκριβῶς, τοῦτο δῶρον εἰληφότες παρὰ θεοῦ, τούς τε φαύλους ῥαδίως δοκιμάζειν καὶ τοὺς σπουδαίους, ὥσπερ ὁ λίθος τὸν ἄργυρον καὶ χρυσόν. Ἀλλὰ τί μοι δεῖ τούτων καὶ οὐ θρηνῶ τὸν προκείμενον; Φεῦ, ὅτι γενναίως τὰ παρόντα ὑπέφερες εὐτυχῶν τε καὶ δυστυχῶν, οἷα δὴ πᾶσι πέφυκε γίγνεσθαι, ὅσοι τῶν συνθέτων ἐσμέν, καὶ τίς οὐκ ἂν τῶν εἰδότων σε μαρτυρήσειεν ; Ἐγὼ γ᾽ αὐτὸς μάρτυς, εἰ καὶ σπανίως συνεγενόμην σοι· πολλάκις γὰρ χρήματ᾽ ἀποβαλών, ὡς ἀλλότρια ἥγησαι καὶ κερδάνας ὡς οὐδὲν ἐλογίσω. Ἐλέγξατε, ὦ παρόντες, εἰ μὴ λέγοιμι ἀληθῆ. Ἀλλ᾽ οὐδὲν | ἀποκρίνεσθε, συνθέμενοι καὶ δηλοῦν- 192r
τες δέον θρηνεῖν· τοιγαροῦν καὶ θρηνῶμεν τὸν φίλον ἀποβαλόντες ἡμῶν, τὸν πολλάκις ἡμῖν ὁμιλήσαντα, τὸν πολλὰ καὶ πάντ᾽ ἀγαθὰ ἡμῖν εἰπόντα καὶ αὖθις ἀκούσαντα, τὸν συνεορτάσαντα καὶ πενθήσαντα ἐφ᾽ ἑκατέρᾳ τῆς τύχης μεταβολῇ. Ἀλλὰ νῦν, φεῦ, οὐθ᾽ ἡμῖν ἀποκρίνεται κλαίουσι καὶ τὸν ἄνδρα ζητοῦσι ὡς ζῶντα, οὔτ᾽ ἀκούει τῶν θρήνων καὶ ἅ γε μεμελῳδήκασιν οἱ παῖδες τῶν μουσικῶν. Οἶδα γοῦν τὴν ἀθάνατον τούτου ψυχὴν τῶν τῇδε καὶ τῶν δικαίων ἐστίν, ὥσπερ ἀμέλει καὶ τῶν ἑτέρων. Ὥς γε ἡμῖν δοκεῖ καὶ πᾶσι τοῖς θύραθεν. Ἡ γὰρ ψυχὴ ἀθάνατος οὖσα τῷ τε σώματι τῷδε ὡς ὀργάνῳ χρησαμένη κινεῖ περ τὸν αὐτὸ καὶ ἀποβάλλουσα κήδεται, ὅπως αὐτῷ ἐσαῦθις ἐντύχοι τῷ συμφυεῖ, λόγῳ συναρμοσθησομένη γε τουτῳΐ, ᾧ συνεζεύχθη τὸ πρῶτον ἱκανὸν τοῖς ἀπίστοις τοῦτ᾽ εἰς λόγον ἀναβιώσεως. Εἴτε γὰρ ἐξ ὄντων ὡς ἐκεῖνοι φασίν, εἴτ᾽ ἐκ μὴ ὄντων τὰ ὄντα, ὡς φησιν, συνέστηκεν, ἡ ἀλήθεια, ὥσπερ ἐξ ὧν τὸ πρῶτον συνέστη, οὕτως εἰκὸς ἐκ τῶν αὐτῶν καὶ ἐσαῦθις γενέσθαι. Εἰ δ᾽ οὔτε λοιμῷ ἐξ ἡμῶν ἐγένετο γίγνεσθαι εἰωθότι, οὔτε νόσῳ τινὶ φυσικῇ, ἀλλὰ βιαίῳ θανάτῳ καὶ τυχηρῷ, οἷα πολλάκις τοῖς ἀνθρώποις συμβαίνει, καινὸν οὐδέν. Πολλοὶ γὰρ φυσικῷ ἐξανθρωπισθέντες θανάτῳ, ἐξαπολώλεσαν καὶ πλεῖστοι τοιούτῳ συνειζήκασι δήπουθεν τοῦ θεοῦ τὰ τοιαῦτα δικαίοις ὡς οἶδε κρίνοντος λόγοις· καὶ ἡμεῖς δέ, εἰ μὴ ἐμονωδοῦμεν, εἴποιμεν ἄν. Τοῦ νόμου δὲ οὐκ ἐῶντος, πενθήσωμεν, ὦ παρόντες, τὸν τεθνηκότα, κλαύσωμεν τὸν φίλον ἡμῖν, θρηνήσωμεν τοῦτον, ὡς ἄλλοι πάλιν ἴσως ἡμᾶς. Τὸ γὰρ χρέος κοινὸν καὶ εἰ τοὺς πρὸ ἡμῶν μεταστάντας δικαίως τιμήσαντες κλαύσετε, ὥσπερ δὴ καὶ ποιεῖτε, περιττοὶ Κρῆτες πάντων ἐς τόδε, καὶ ἡμᾶς οἱ μεθ᾽ ἡμᾶς προπέμψουσι κλαίοντες· πρὸς δὲ καὶ | τῶν τοιούτων 192v

Institutional Repository - Library & Information Centre - University of Thessaly
23/04/2024 09:21:49 EEST - 18.227.81.185

*ἕξομεν ἀμοιβὴν ἐκ θεοῦ. Τοῖς γὰρ τὰ φαῦλα δρῶσι, τοιαῦτα δικαίως ἀνταποδίδωσι καὶ τοῖς τ' ἀγαθά, τούτοις δήπουθεν τἀναντία. Καὶ ταῦτα μὲν οὕτως, σὺ δ' ὦ φερώνυμε τοῦ καλοῦ, καλὸς γὰρ ἦσο ἡμῖν γε συνών, καλλίων δ' ἂν εἴης νῦν, συζήσων τῷ δεσπότῃ τῶν ὁρατῶν καὶ βασιλεῖ τῶν δυνάμεων, μέμνησο καὶ ἡμῶν αὐτῶν εὐχόμενος ἐκτενῶς, ὃν ἡμεῖς τε προσκυνήσαντες τὰ εἰκότα καὶ τὸν προκείμενον ἡμῖν ἀσπασάμενοι φίλον, ἀπίωμεν θεῷ καὶ ἀνθρώποις φίλα ποιήσαντες.*

Β'

*Τοῦ αὐτοῦ ἐπικήδειος εἰς Γαλατηνὸν*

*Φίλον ἄνδρα καὶ ἀγαθὸν λόγοις τεθνηκότα κοσμεῖν μὴ ὅτι προσῆκον, ἀλλ' ἤδη καὶ ὀφειλόμενον. Εἰ γὰρ ὅτε περιὼν ἐθεράπευε τρόπῳ παντὶ τοὺς ἑταίρους αὐτῷ, πῶς οὐκ ὀφείλεται καὶ τοῖς φίλοις ἀντιχαρίζεσθαι τῷ φιλοῦντι χάριν καὶ ταῦτα τελευταίαν τε καὶ προσήκουσαν, ἄλλωσθ' ὅταν ᾖ καὶ ἀρεταῖς ἐστεμμένος, ὅσαι τε τὸ σῶμα καὶ ὅσαι τὸν μᾶλλον ἄνθρωπον, ψυχὴν τὴν θείαν, καταστολίζουσι ; τότε δὴ καὶ μᾶλλον ἐς τοῦτον λόγοι καὶ πένθος καὶ τἆλλα τοῖς οὐκ ἀχαρίστοις ὀφείλεται. Ἐμοὶ δ' ὅτι περιὼν φίλος σαφὴς ἐτύγχανεν ὢν καὶ πολὺ λόγοις τε καὶ ἔργοις ἴθυνε πρὸς τὸ κρεῖττον, ἄλλοι τε πολλοὶ μαρτυροῦσι καὶ ἔτι μᾶλλον αὐτὸς ὁ τῶν τοιούτων τετυχηκώς· ὅθεν | αὐτῷ πρὸ τῶν ἄλλων ἡμῖν ἀπονεμητέον* 193r *τὴν χάριν. Πόθεν οὖν ἀρκτέον ἢ ὅθεν αὐτῷ τῆς γεννήσεως αἴτιος, ἡ πόλις πρώτη τῶν ἐν Κρήτῃ μετὰ τὴν πρώτην, ἀνδρῶν οὐκ ὀλίγον πεπληρωμένη σοφῶν καὶ ἐραστῶν τῆς σοφίας, ἧς ἄνευ οὔτ' ἂν πόλις εὔνομος εἴη καὶ καλῶς ζώῃ, οὔτ' ἄνθρωπος καθ' αὑτόν· ζωῆς τε γὰρ ἀγαθῆς καὶ νόμων οὐ φαύλων καὶ πάντων καθάπαξ ἡ σοφία προστάτης· ὅτι δ' εὐνομεῖται, τοῦτ' ἐκ προγόνων ἔχει. Μίνως γὰρ παλαίτατος ὢν ἀκοῇ ἴσμεν Ἑλλήνων ἐπ' εὐνομίᾳ περιμεμάχηται καὶ ταύτης εὐνομώτατα καὶ δικαιότατα βεβασίλευκε· γῆς δὲ φορᾶς καὶ ὑδάτων καὶ κράσεως ἀέρων οὕτως εὖ ἔχει, ὡς μηδεμίαν ἐξισοῦσθαι ταύτῃ τῶν ἐν τῇ νήσῳ· ὅσῳ δὲ τούτοις κοσμεῖται, τοσούτῳ καὶ τῶν οἰκητόρων ταῖς ἀρεταῖς· τούτων εἷς ἦν τῷ τεθνεότι πατήρ, ἀνὴρ τά τε ἄλλα τῶν ἀγαθῶν καὶ τὴν ἀλήθειαν ἐπασκῶν. Ἀληθείας δ' ἀντιποιεῖσθαι οὐδὲν αἱρετώτερον. Τῇ γὰρ ἀληθείᾳ ὁ ἀληθὴς τῷ ἀληθεῖ ἑνοῦται θεῷ. Οὐ μὴν ἀλλὰ καὶ τὸν μονήρη βίον ἤσκησεν οὕτως· παρίημι γὰρ ὅσα ποιῶν διετέλεσε τῷ κόσμῳ βίῳ συζῶν, ὥστε μηδὲ τὸν*

---

19. Thuçidides I, IV, 4: *Μίνως γὰρ παλαίτατος ὢν ἀκοῇ ἴσμεν.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
23/04/2024 09:21:49 EEST - 18.227.81.185

*μῶμον δύνασθαι ἂν λόγον προσενεγκεῖν τῷ ἀνδρί· οὗτος εὖ τε καὶ καλῶς οὕτω βιώσας, ᾤχετο γῆθεν ἐς τῶν εὖ βεβιωκότων τὸν χῶρον, λύπας καὶ ὀδυρμοὺς τοῖς αὐτοῦ γνωρίμοις καταλιπὼν καὶ μάλιστα τούτου τῷ φιλτάτῳ υἱεῖ, ὃς ἡμῖν αἰτία τε τοῦ παρόντος πέφυκε λόγου καὶ αὐτοῦ τῆς μνήμης τοῦ γενναίου π(ατ)ρ(ό)ς. Οὗτος τοίνυν ἀγαθὸς ἐξ ἀγαθοῦ πεφυκώς, εὐθὺς ἐποίει καρποὺς ἀξίους τε οἷ αὐτῷ καὶ οὐχ ἥκιστα τῷ γεννήτορι, λόγον τε ἀεὶ μετιών, ᾧ δὴ τῶν ἀλόγων διενηνόχαμεν ζώων καὶ αὖ πάλιν αὐτῶν τῶν λογικῶν τε καὶ ὁμωνύμων καὶ τὴν ἄλλην ἀρετήν, συνὼν ἀγαθοῖς τε καὶ συνδιάζων, εὖ τε καὶ ἐπισταμένως συνιεὶς τὰ Θεόγνιδος—οὕτω γάρ πως τὰ ἐλεγεῖα φησίν: «ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι. ἂν δὲ κακοῖσι συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐνόντα νόον»· μουσικῆς δὲ τοσοῦτον αὐτῷ μετῆν, ὥστε τὸ θεῖον γάννυσθαι ψάλλοντι, ὥρας δὲ σώματος, ὡς μήτε εἰδεχθῆ | εἶναι, μήτε τοῖς ἀκολάστοις* 193v *ἀφορμὴν παρέχειν εἰς τὸ βουλόμενον· δι' ὃ πολλοῖς ἐκαλεῖτο Βελλερεφόντης τε καὶ Ἱππόλυτος. Καὶ μὲν δὴ τοσοῦτον ἐπήρκει τοῖς δεομένοις καὶ ὅσοι φαύλῳ ἐχρήσαντο δαίμονι, ὡς ἕνα μηδένα εἶναι τῶν αὐτῷ προσιόντων, ὃς οὐ λαβὼν καὶ εὐχαριστήσας ἀπῄει· ᾔδει γὰρ ἀκριβῶς ᾧ ταυτὶ παρεῖχεν ἐς δάνειον — λέγω δὲ τῷ ἀντιδιδόντι τούτοις πολλαπλάσια τούτων. Τούτῳ διὰ τὸ χαῦνον τοῦ σώματος καὶ τὴν τοῦ γένους διαμονὴν ἐπῆλθεν εἰς νοῦν ἀγαγέσθαι γυναῖκα σώφρονι σώφρονα, δικαίαν δικαίῳ, ἀνδρείῳ ἀνδρείαν, συνετὴν συνετῷ καὶ ἁπλῶς εἰπεῖν ἀγαθῷ ἀγαθήν, ἧς μέτα οὐκ ὀλίγους ποιησάμενος παῖδας καὶ πάντας θανάτῳ ὡς θύματα τῷ θ(ε)ῷ δεδωκώς, τέλος ἔτη καὶ αὐτὸς βιώσας πεντήκοντα, νόσῳ χρονίῳ πεδηθείς, ἀπηλλάγη τῶν τῇδε πολλά τε καὶ ἀγαθὰ μνημεῖα καταλιπὼν ἀρετῆς, ἅπερ ἐσαεὶ εἰς λογισμὸν ἡμεῖς βάλλοντες, εὐδαίμονά τε ἀποκαλοῦμεν καὶ αὐτοὶ εὐχόμεθα οὕτω βιώσεσθαι καὶ οὕτως ἀποθανεῖν, ὡς ἂν ἐλευθερίως ἐκεῖνος καὶ ἀμογητὶ ἀποθάνοι, ἀμπεχόμενος τὰ τῶν μοναχῶν ἄμφια, ὧν πόση γε ἡ δύναμις πᾶσι δῆλον· καὶ νῦν ἡ ψυχὴ αὐτοῦ ἀθάνατος οὖσα, κἂν διαρραγεῖεν Σέξτοι καὶ Πύρωνές, Ἐπίκουροί τε καὶ Στωϊκοί, τῶν ἀγαθῶν ἀπολαύοι σὺν τοῖς ἀξίοις τῆς τοιαύτης γε ἀπολαύσεως, ὧν τυχεῖν καὶ ἡμεῖς δεηθέντες, ὅσοι τῷδε πάρεσμεν τῷ τεμένει θ(εο)ῦ, ἐπικαίρως ἀπίωμεν.*

Β. ΛΑΟΥΡΔΑΣ

---

39-41. Theognis A 35-36 (ubi trad. habet *συμμίσγῃς* <*συμμιγῇς* et *συμμίξῃς*> et *ἐόντα*).